ὄβριμοι· ἐν δὲ πύλῃσι πέσον μεμαῶτες ἐρύσσαι
ἔργον ἀπειρέσιον κρατερόφρονος Ἐννοσιγαίου.
Τρῶες δ' οὐ λήθοντο μάχης μάλα περ δεδιῶτες,
ἀλλὰ καὶ ὣς πύργοισιν ἐφεσταότες πονέοντο
νωλεμέως· αἰεὶ δὲ θεοδμήτων ἀπὸ τειχέων
* ἰοὶ δὲ πολυκμήτων ἀπὸ χειρῶν
θρῶσκον ὁμῶς λάεσσι καὶ αἰγανέῃσι θοῇσι
δυσμενέων ἐς ὅμιλον, ἐπεί σφισι τλήμονα Φοῖβος
ἧκε βίην· ἔτι γάρ οἱ ἀμύνειν ἤθελε θυμὸς
Τρωσὶν ἐϋπτολέμοισι καὶ Ἕκτορος οἰχομένοιο.
ἔνθ' ἄρα Μηριόνης στυγερὸν προέηκε βέλεμνον
καὶ βάλε Φυλοδάμαντα φίλον κρατεροῖο Πολίτεω
τυτθὸν ὑπὸ γναθμοῖο· πάγη δ' ὑπὸ λαιμὸν ὀϊστός·

---

387. *τανύπτεροι* A; em. Rhod. — „Ceterum hic versus arguit scri„ptorem ejusmodi regionis, in qua „olearum cultura habetur, et nota„bile sturnos et graculos olivis ve„sci.“ HEYN.

396. *ἐφεστῶτες* A et vulgo; corr. Spitzner. *observv.* p. 94.

397. unus versus in A:
*νωλεμέως· οἴδ' αἰεὶ πολυκμήτων ἀπὸ χειρῶν;*
*αἰὲν* E1; *ἀπὸ τειχῶν* VE1; Rhod. *ἰοὶ δὲ πολ.* em., quod rec. Tychs. Lehrs. in fine *τειχῶν* scripto. Equidem ex vestigiis illis locum in *programm.* p. 18 probabiliter restaurasse mihi videor:
*νωλεμέως· αἰεὶ δὲ θεοδμήτων ἀπὸ τειχέων*
*[βάλλον ἅδην·] ἰοὶ δὲ πολυκμήτων ἀπὸ χειρῶν*
*θρῶσκον* etc.
Vid. ad V, 49. Hermann. dubitanter *νωλεμές· ἰοὶ δ' αἰὲν ἐϋκμήτων ἀπὸ τειχέων* conjecit.

399. *ἐπεὶ σφίσι* A; corr. Tychs.

400. *αἰεὶ γάρ οἱ ἀ. ἤ. θ.* A; *αἰεὶ γὰρ ἀ. ἤ. θυμῷ* conj. Rhod., quod rec. Lehrs.; *αἰεὶ γάρ οἱ ἤ. θ. ἀ.* vitiose Pauw., quod rec. Tychs.; Spitzner. *observv.* p. 146 commendat *αἰεὶ γὰρ ἀμυνέμεν ἤ. θ.* longiore forma praeter necessitatem adscita. Jam antea *v. Gr. her.* p. 36 ut et Gerhard. *lectt. Apoll.* p. 138 *οἱ* tantum expungi volebat. Hermannus *δὴ γάρ οἱ ἀ. ἤ. θ.* suasit; mihi *ἔτι γάρ οἱ ἀ. ἤ. θ.* propter sequentia praestare visum.

403. *Φιλοδάμαντα* A; em. Rhod. hac nota addita: „scripsi *Φυλοδάμαντα*: nisi malis *Λαοδ.*“ — *Πολίτου* A et vulgo; correxi.

*κάππεσε δ' αἰγυπιῷ ἐναλίγκιος, ὅντ' ἀπὸ πέτρης*
*ἰῷ ἐϋγλώχινι βαλὼν αἰζηὸς ὀλέσσῃ·*
*ὣς ὁ θοῶς πύργοιο κατήριπεν αἰπεινοῖο·*
*γυῖα δέ οἱ λίπε θυμός· ἐπέβραχε δ' ἔντεα νεκρῷ·*
*τῷ δ' ἐπικαγχαλόων υἱὸς κρατεροῖο Μόλοιο*
*ἄλλον ἀφῆκεν ὀϊστὸν ἐελδόμενος μέγα θυμῷ*
*υἷα βαλεῖν Πριάμοιο πολυτλήτοιο Πολίτην·*
*ἀλλ' ὃ μὲν αἶψ' ἀλέεινε παρακλίνας ἑτέρωσε*
*ὃν δέμας, οὐδέ οἱ ἰὸς ἐπὶ χρόα καλὸν ἴαψεν·*
*ὡς δ' ὅθ' ἁλὸς κατὰ βένθος ἐπειγομένης νεὸς οὔρῳ*
*ναύτης παιπαλόεσσαν ἰδὼν ἐν χεύματι πέτρην*
*νῆα παρατρέψῃ λελιημένος ἐξυπαλύξαι*
*χειρὶ παρακλίνας οἰήιον, ᾗχί ἑ θυμὸς*
*ὀτρύνει, τυτθὴ δὲ βίῃ μέγα πῆμ' ἀπερύκει·*
*ὣς ἄρ' ὅγε προϊδὼν ὀλοὸν βέλος ἔκφυγε πότμον.*
*οἳ δ' αἰεὶ μάρναντο· λύθρῳ δ' ἐρυθαίνετο τείχη*
*πύργοι θ' ὑψηλοὶ καὶ ἐπάλξιες, ᾗχί τε Τρῶες*
*ἰοῖσι κτείνοντο πολυσθενέων ὑπ' Ἀχαιῶν·*
*οὐδὲ μὲν οἵγ' ἀπάνευθε πόνων ἔσαν, ἀλλ' ἄρα καὶ τῶν*
*πολλοὶ γαῖαν ἔρευθον· ὀρώρει δ' αἰπὺς ὄλεθρος*
*βαλλομένων ἑκάτερθε· λυγρὴ δ' ἐπετέρπετ' Ἐνυὼ*
*δῆριν ἐπικλονέουσα κασιγνήτη Πολέμοιο·*
*καί νύ κε δὴ ῥήξαντο πύλας καὶ τείχεα Τροίης*
*Ἀργεῖοι, μάλα γάρ σφιν ἀάσπετον ἔπλετο κάρτος,*
*εἰ μὴ ἄρ' αἶψ' ἐβόησεν ἀγακλειτὸς Γανυμήδης*
*οὐρανοῦ ἐκκατιδών· μάλα γὰρ περιδείδιε πάτρης·*
*„Ζεῦ πάτερ, εἰ ἐτεόν γε τεῆς ἔξ εἰμι γενέθλης,*

---

408. *νεκροῦ* A et vulgo; emendavi. Jam Rhod. *νεκρῷ* legisse videtur: *sonitumque*, inquit, *dant arma super cadaver.*
410. *ἐφῆκεν* A et vulgo; em. Pauw.
412. *ἑτέρωθεν* A et vulgo praeter Lehrs., qui *ἑτέρωσε* rec. ex emend. Spitzneri *v. Gr. her.* p. 97. Cfr. id. *observv.* p. 63.
414. *πόντον* A et vulgo; emendavi: vid. IV, 95. XIII, 309. 468. XIV, 420.
415. *ἐνὶ* A et vulgo; correxi.
416. *ἐξυπαλῖξαι* ex recentiore mutatione V.
421. *πῦργοι* A, *π. δὲ* V, *π. δ'* E1; corr. Rhod.
422. *ἀπ'* A, *ὑπ'* C1; et ita corr. Rhod.
423. *οὔτι* A et vulgo; emendavi ad III, 341.
424. *ὀρώρει — ἑκάτερθε* om. C1 in textu, sed add. in marg.
426. *κασιγνήτην* A; em. Tychs.
428. *ἄσπετον* A; corr. Rhod.
429. *ἀγακλυτὸς* A; corr. Pauw.
430. *πάτρης* A, quod sine causa mutavit Tychs. in *πάτρῃ*: vid. Spitzner. *observv.* p. 205 sq., qui et ipse *ἐκ κατιδὼν* scribit. Non accedo.
431. *ἔξειμι* A; *ἐξ εἰμὶ* Tychs. Lehrs.; sed *ἔξ εἰμι* scribendum monuit Spitzner. *l. c.* Cfr. id. ad *Z*, 100.

*σῇσι δ' ὑπ' ἐννεσίῃσι λιπὼν ἐρικυδέα πάτρην*
*εἰμὶ μετ' ἀθανάτοισι, πέλει δέ μοι ἄμβροτος αἰών,*
*τῷ μευ νῦν ἐσάκουσον ἀκηχεμένου μέγα θυμῷ·*
*οὐ γὰρ τλήσομαι ἄστυ καταιθόμενον προσιδέσθαι*
*οὐδ' ἄρ' ἀπολλυμένην γενεὴν ἐν δηιοτῆτι*
*λευγαλέῃ, τῆς οὔ τι χερειότερον πέλει ἄλγος·*
*σοὶ δὲ καὶ εἰ μέμονε κραδίῃ τάδε μηχανάασθαι,*
*ἔρξον ἐμεῦ ἄπο νόσφιν· ἐλαφρότερον δέ μοι ἄλγος*
*ἔσσεται, ἤν μὴ ἔγωγε μετ' ὄμμασιν οἷσιν ἴδωμαι·*
*κεῖνο γὰρ οἴκτιστον καὶ κύντατον, ὁππότε πάτρην*
*δυσμενέων παλάμῃσιν ἐρειπομένην τις ἴδηται."*
*ἦ ῥα μέγα στενάχων Γανυμήδεος ἀγλαὸν ἦτορ.*
*καὶ τότ' ἄρα Ζεὺς αὐτὸς ἀπειρεσίοις νεφέεσσι*
*νωλεμέως ἐκάλυψε κλυτὴν Πριάμοιο πόληα·*
*ἠχλύνθη δὲ μάχη φθισίμβροτος· οὐδέ τις αὐτῶν*
*ἐξιδέειν ἐπὶ τεῖχος ἔτ' ἔσθενεν, ἧχι τέτυκτο·*
*ταρφέσι γὰρ νεφέεσσι διηνεκέως κεκάλυπτο·*
*ἀμφὶ δ' ἄρα βρονταί τε καὶ ἀστεροπαὶ κτυπέοντο*
*οὐρανόθεν· Δαναοὶ δὲ Διὸς κτύπον εἰσαΐοντες*
*θάμβεον· ἐν δ' ἄρα τοῖσι μέγ' ἴαχε Νηλέος υἱός·*
*„ὦ κλυτοὶ Ἀργείων σημάντορες, οὐκέτι νῶιν*
*ἔσσεται ἔμπεδα γυῖα Διὸς μέγα θαρσαλέοισι*
*Τρωσὶν ἀμύνοντος· μάλα γὰρ μέγα πῆμα κυλίνδει*
*ἡμῖν· ἀλλ' ἄγε θᾶσσον ἑὰς ἐπὶ νῆας ἰόντες*
*παυσώμεσθα πόνοιο καὶ ἀργαλέοιο κυδοιμοῦ,*

---

432. *ἐ. Τροίην* V.

436. *ἐνὶ* Lehrs. secundum Wernick. *Tryphiod.* p. 174.

437. Versus qui sequuntur duo 438 et 39 ex VNV3E1C restituit Tychs., nisi quod *κραδίῃ* errore retinuit. Dicit enim: „*κραδίῃ* laudat Schow., *κραδίη* habet VE1C et hoc praefero. Sic enim est *Π*, 435." Et *κραδίη* scribendum esse dixit Bonit. *l. c.* p. 1236: cfr. Spitzner. *observv.* p. 28 sq.

440. *ἦ ἔσεθ', ἦν μὴ* C1, qui versibus illis ut A caret. „Voluit: qua nullus acerbior dolor *est aut erit,* quam ego nolim etc." TYCHS. Etiam Canter. *novv. lectt.* I, 7, p. 43 *ἥν μή* scripsit. Rhod., ut potuit, vulgatam intellexit: „fuerit (sane), si „ego modo oculis meis non aspe„xero (exitium Trojae);" melius certe Pauwio, cujus haec est inepta conjectura: *τῶν οὔτι χερειότερόν ποτε ἄλγος Ἔσσεται, ἦν μὲν ἔγωγε.*

443. *στενάχον* A, *στενάχων* VE1; et ita corr. Rhod. in textu.

444. *αὐτὴν* C1, *αὐτὸν* C2. — *ἀπειρέσιον* A, *ἀπειρεσίοις* C1; et ita em. Rhod.

446. *ἀνδρῶν* vel *αὐτῷ* conj. Pauw., quo facile caremus. *Αὐτῶν* pertinet ad *μάχη*, in qua voce pugnantium Graecorum notio inest.

452. *ὦ νύ μοι* A; „*ὦ φίλοι* vel *ὦ κλυτοὶ.*" RHOD. Posterius recte rec. Tychs. Cfr. XII, 220. — *οὐκ ἔτι* et vulgo; correxi. — *νῶϊ* A, corr. Tychs.

454. *ἀμύνοντες* E1.

455. *θᾶττον* A et vulgo; correxi.

456. *παυσόμεθα* E1.

*μὴ δὴ πάντας ἐνιπρήσῃ μάλα περ μενεαίνων·*
*τοῦ νῦν μὲν τεράεσσι πιθώμεθα· τῷ γὰρ ἔοικε*
*πάντας ἀεὶ πεπιθέσθαι, ἐπεὶ μάλα φέρτατός ἐστιν*
*ἰφθίμων τε θεῶν ὀλιγοσθενέων τ' ἀνθρώπων·*
*καὶ γὰρ Τιτήνεσσιν ὑπερφιάλοισι χολωθεὶς*
*οὐρανόθεν κατέχευε πυρὸς μένος· ἣ δ' ὑπένερθε*
*καίετο πάντοθε γαῖα, καὶ ὠκεανοῦ πλατὺ χεῦμα*
*ἔζεεν ἐκ βυσσοῖο καὶ ἐς πέρατ' ἄχρις ἱκέσθαι·*
*καὶ ποταμῶν τέρσοντο ῥοαὶ μάλα μακρὰ ῥεόντων·*
*δάμνατο δ' ὁππόσα φῦλα φερέσβιος ἔτρεφε γαῖα*
*ἠδ' ὅσα πόντος ἔφερβεν ἀπείριτος ἠδ' ὁπόσ' ὕδωρ*
*ἀενάων ποταμῶν· ἐπὶ δέ σφισιν ἄσπετος αἰθὴρ*
*τέφρῃ ὑπεκρύφθη καὶ λιγνύϊ· τείρετο δὲ χθών·*
*τοὔνεκ' ἐγὼ δείδοικα Διὸς μένος ἤματι τῷδε.*
*ἀλλ' ἴομεν ποτὶ νῆας, ἐπεὶ Τρώεσσιν ἀρήγει*
*σήμερον· αὐτὰρ ἔπειτα καὶ ἡμῖν κῦδος ὀρέξει·*
*ἄλλοτε γάρ τε φίλη πέλει ἠώς, ἄλλοτε δ' ἐχθρή·*
*καὶ δ' οὔπω δὴ μοῖρα διαπραθέειν κλυτὸν ἄστυ,*
*εἰ ἐτεὸν Κάλχαντος ἐτήτυμος ἔπλετο μῦθος,*
*τόν ῥα πάρος κατέλεξεν ὁμηγερέεσσιν Ἀχαιοῖς*
*δηῶσαι Πριάμοιο πόλιν δεκάτῳ ἐνιαυτῷ."*
*ὣς φάτο· τοὶ δ' ἀπάνευθε περικλυτὸν ἄστυ λιπόντες*
*χάσσαντ' ἐκ πολέμοιο Διὸς τρομέοντες ὁμοκλήν·*

---

458. *τοῖσιν μὲν* A et vulgo; *τοῦ νῦν μὲν* inveni in *emendd.* p. 229: „Quae huic sententiae opponenda „sint, ea Nestor paullo post v. 471 sq. „addit hisce:
*ἀλλ' ἴομεν ποτὶ νῆας, ἐπεὶ Τρώεσσιν ἀρήγει*
*σήμερον· αὐτὰρ ἔπειτα καὶ ἡμῖν κῦδος ὀρέξει.*"

459. *ἐπιπίθεσθαι* et in fine * A; „ubique lacuna." SCHOW. p. 76; sed *πάντας ἐπιπείθεσθαι* VE1 M2; „nec dubito *πάντας* etiam in N legi." TYCHS., qui id ipsum recepit; *ὣς γὰρ ἔ. τῷ ἐπιπείθεσθαι, ἐπειὴ* C1 („in rasuris" TYCHS.). Varia conjecere: *πάγχυ παραιπεπιθέσθαι* Rhod., *θνητοὺς πείθεσθαι* Dausq.; „*πεπιθέσθαι* etiam a Calabro proficisci potuit, et vox *εὐφρονέως* aut alia similis, quam sine libris restituere non possumus, abesse a principio." PAUW. Eum secutus Tychs. aut *πάντας μὲν* vel *δὴ πεπιθέσθαι*, aut *πάντας παρπεπιθέσθαι*, aut *πάντας πείθεσθαι, ἐπειή* scribendum suspicatus postremo lectionem ex VE1 retinuit metro vitiato. Lehrs. *πάντ' ἐπιπείθεσθαι, ἐπειὴ* scripsit. Sed vide ad III, 605. Hinc ego scripsi *πάντας ἀεὶ πεπιθέσθαι*, quod jam dudum inveneram, sed retento *πείθεσθαι*: cfr. *emendd.* p. 230.

462. *ὑπένερθεν* A et vulgo; correxi.

463. *ὠκεανοῖο* A; corr. Rhod.

465. *λαβρὰ* pro *μακρὰ* conj. Pauw.

468. *ἀεννάων* E1.

470. *δείδικα* A; corr. Rhod.

474. *καὶ δ' οὔπω* manco versu et in fine * A, *καὶ δὴ οὔπω* C1; „*καὶ δ' οὔπω πάρα* vel *τοι μοῖρα*." RHOD. Posterius receperunt Tychs. Lehrs.; Dausq. *νῦν* interserit; ego *δή*, nisi fortasse fuit *πέλε*.

*ἀνέρι γὰρ πεπίθοντο παλαιῶν ἴστορι μύθων.*
*ἀλλ' οὐδ' ὧς ἀμέλησαν ἀποκταμένων ἐνὶ χάρμῃ·*
*ἀλλά σφεας τάρχυσαν ἀπὸ πτολέμου ἐρύσαντες·*
*οὐ γὰρ δὴ κείνους νέφος ἄμφεχεν, ἀλλὰ πόληα*
*ὑψηλὴν καὶ τεῖχος ἀνέμβατον, ᾧ πέρι πολλοὶ*
*Τρώων υἷες ἄρηι καὶ Ἀργείων ἐδάμησαν·*
*ἐλθόντες δ' ἐπὶ νῆας ἀρήια τεύχεα θέντο,*
*καί ῥα κόνιν καὶ ἱδρῶτα λύθρον τ' ἀποφαιδρύναντο*
*κύμασιν ἐμβεβαῶτες ἐϋρρόου Ἑλλησπόντου.*
*ἠέλιος δ' ἀκάμαντας ὑπὸ ζόφον ἤλασεν ἵππους·*
*νὺξ δ' ἐχύθη περὶ γαῖαν, ἀπέτραπε δ' ἀνέρας ἔργων·*
*Ἀργεῖοι δ' Ἀχιλῆος ἐϋπτολέμου θρασὺν υἷα*
*ἶσα τοκῆι τίεσκον· ὃ δ' ἐν κλισίῃσιν ἀνάκτων*
*δαίνυτο καγχαλόων· κάματος δέ μιν οὔτι βάρυνεν,*
*οὕνεκά οἱ στονόεντα Θέτις μελεδήματα γυίων*
*ἐξέλετ', ἀκμήτῳ δ' ἐναλίγκιον εἰσοράασθαι*
*τεῦξεν· ὃ δ' ἐκ δόρποιο κορεσσάμενος κρατερὸν κῆρ*
*ἐς κλισίην ἀφίκανεν ἑοῦ πατρός, ἔνθα οἱ ὕπνος*
*ἀμφεχύθη· Δαναοὶ δὲ νεῶν προπάροιθεν ἴαυον*
*αἰὲν ἀμειβόμενοι φυλακάς· φοβέοντο γὰρ αἰνῶς,*
*Τρώων μή ποτε λαὸς ἢ ἀγχεμάχων ἐπικούρων*
*νῆας ἐνιπρήσῃ, νόστου δ' ἀπὸ πάντας ἀμέρσῃ.*
*ὧς δ' αὔτως Πριάμοιο κατὰ πτόλιν ἔθνεα Τρώων*
*ἀμφὶ πύλας καὶ τεῖχος ἀμοιβαδὸν ὑπνώεσκον*
*Ἀργείων στονόεσσαν ὑποτρομέοντες ὁμοκλήν.*

---

480. *ἴστορι* ex editione Pauwiana in ceteras transiit. Quod in A est, data opera restituit Spitzner. *observv.* p. 96.
482. *ἀλλὰ σφέας* ex editione Rhodomanniana in ceteras transiit.
484. *ἀνάμβατον* ex *Z*, 434 conjecit Bonit. *l. c.* p. 1236, sed vulgatam ex recentiorum usu vindicavit Spitzner. *observv.* p. 45.
486. *τεύχε' ἔθεντο* A et vulgo: correxi in *prolegg.* II, 1, §. 14.
494. *μελετήματα* conj. Pauw.
500. *ἐγχεμάχων* V.
502. *ἔθνεα πάντα* C2, sed in marg. *γρ. Τρώων.*

# ΚΟΙΝΤΟΥ

## ΤΩΝ ΜΕΘ ΟΜΗΡΟΝ

### ΛΟΓΟΣ ΕΝΝΑΤΟΣ.

Ἦμος δ' ἤνυτο νυκτὸς ἄπο κνέφας, ἔγρετο δ' ἠὼς
ἐκ περάτων, μάρμαιρε δ' ἀπείριτον ἄσπετος αἰθήρ,
δὴ τότ' ἀρήιοι υἷες ἐϋσθενέων Ἀργείων
ἄμ πεδίον πάπταινον, ἴδοντο δὲ Ἰλίου ἄκρην
ἀννέφελον, χθιζὸν δὲ τέρας μέγα θαυμάζεσκον·
Τρῶες δ' οὐκέτ' ἔφαντο πρὸ τείχεος αἰπεινοῖο
στήμεναι ἐν πολέμῳ· μάλα γὰρ δέος ἔλλαβε πάντας.
Ἀντήνωρ δ' ἐν τοῖσι θεῶν ἠρήσατ' ἄνακτι·
„Ζεῦ Ἴδης μεδέων ἠδ' οὐρανοῦ αἰγλήεντος,
κλῦθί μευ εὐχομένοιο, καὶ ὄβριμον ἄνδρα πόληος
τρέψον ἀφ' ἡμετέρης ὀλοὰ φρεσὶ μητιόωντα,
εἴθ' ὅγ' Ἀχιλλεύς ἐστι καὶ οὐ κίε δῶμ' Ἀΐδαο,
εἴτε τις ἄλλος Ἀχαιὸς ἀλίγκιος ἀνέρι κείνῳ·
λαοὶ γὰρ κατὰ ἄστυ θεηγενέος Πριάμοιο
πολλοὶ ἀποφθινύθουσι, κακοῦ δ' οὐ γίνετ' ἐρωή,
ἀλλὰ φόνος τε καὶ οἶτος ἐπὶ πλέον αἰὲν ἀέξει·
Ζεῦ πάτερ, οὐδέ νυ σοί τι δαϊζομένων ὑπ' Ἀχαιοῖς
μέμβλεται, ἀλλ' ἄρα καὶ σὺ λελασμένος υἷος ἑοῖο
Δαρδάνου ἀντιθέοιο μέγ' Ἀργείοισιν ἀρήγεις.

---

1. *ἀπὸ* A et vulgo; corr. Spitzner. *observv.* p. 25. — *ἔργρετο* E1.

2. *ἀπείριτος* A et vulgo praeter Lehrs., qui *ἀπείριτον* scripsit e conjectura Rhodomanni: „concinnius foret *ἀπείριτον.*" Eandem fecit Bonit. *l. c.* p. 1230 allato XIII, 279, firmavit Spitzner. *l. c.* Contra *ἄσπετον* maluit Pauw.; sed *ἄσπετος αἰθήρ* jam *Π*, 300: cfr. Apoll. Rhod. IV, 642 *δεινὸν γὰρ ἐπὶ μέγας ἔβραχεν αἰθήρ.* Et vid. ad IV, 195.

3. *ἀπείριτοι* A, quo recte offenditur Pauw.; *τότε ὄβριμοι* C1, unde possis *τότ' ἄρ' ὄβ.*: cfr. II, 3. III, 5. VIII, 3; *ἀτειρέες* Tychs. ex sua conj., quod recepit Lehrs. Sed quod ego posui XI, 332 legitur. Et adjectivum Quinto est in deliciis.

4. *ἀμπεδίον* A et vulgo; corr. Lehrs. — *δ'* A; corr. Pauw.

6. *οὐκ ἔτ'* A et vulgo; correxi.

14. *ἄλλοι* A; *λαοὶ* ex em. Pauwi rec. Tychs.

15. *γίγνετ'* contra recentiorum usum commendavit Spitzner. *observv.* p. 208 sq.

17. *οὐδὲ νύ σοί τι* Tychs., quod corr. Spitzner. *l. c.* p. 114.

19. *μετ'* A; *μέγ'* ex em. Dausq.

ἀλλὰ σοὶ εἰ τόδε θυμὸς ἐνὶ κραδίῃ μενεαίνει,
Τρῶας ὑπ' Ἀργείοισιν ὀϊζυρῶς ἀπολέσσαι,
ἔρξον ἄφαρ, μηδ' ἄμμι πολὺν χρόνον ἄλγεα τεῦχε."
ἦ ῥα μέγ' εὐχόμενος· τοῦ δ' ἔκλυεν οὐρανόθι Ζεύς·
καὶ τὸ μὲν αἶψ' ἐτέλεσσε, τὸ δ' οὐκ ἤμελλε τελέσσειν·
δὴ γάρ οἱ κατένευσεν, ὅπως ἀπὸ πολλοὶ ὄλωνται
Τρῶες ὁμῶς τεκέεσσι, δαΐφρονα δ' υἷ' Ἀχιλῆος
τρεψέμεν οὐ κατένευσεν ἀπ' εὐρυχόροιο πόληος,
ἀλλά ἑ μᾶλλον ἔγειρεν, ἐπεί νύ ἑ θυμὸς ἀνώγει
ἦρα φέρειν καὶ κῦδος ἐΰφρονι Νηρηίνῃ.
καὶ τὰ μὲν ὣς ὥρμαινε θεῶν μέγα φέρτατος ἄλλων·
μεσσηγὺς δὲ πόληος ἰδ' εὐρέος Ἑλλησπόντου
Ἀργεῖοι καὶ Τρῶες ἀποκταμένους ἐνὶ χάρμῃ
καῖον ὁμῶς ἵπποισι· μάχη δ' ἐπέπαυτο φόνοιο,
οὕνεκα δὴ Πριάμοιο βίη κήρυκα Μενοίτην
εἰς Ἀγαμέμνονα πέμψε καὶ ἄλλους πάντας Ἀχαιοὺς
λισσόμενος νέκυας πυρὶ καιέμεν· οἳ δ' ἐπίθοντο
αἰδόμενοι κταμένους· οὐ γάρ σφισι μῆνις ὀπηδεῖ·
ἦμος δὲ φθιμένοισι πυρὰς ἐκάμοντο θαμειάς,
δὴ τότ' ἄρ' Ἀργεῖοι μὲν ἐπὶ κλισίας ἀφίκοντο,
Τρῶες δ' ἐς Πριάμοιο πολυχρύσοιο μέλαθρα,
ἀχνύμενοι μάλα πολλὰ δεδουπότος Εὐρυπύλοιο·
τὸν γὰρ δὴ τίεσκον ἴσον Πριάμοιο τέκεσσι·
τοὔνεκά μιν τάρχυσαν ἀποκταμένων ἑκὰς ἄλλων
Δαρδανίης προπάροιθε πύλης, ὅθι μακρὰ ῥέεθρα
* * * * * *
δινήεις προΐησιν ἀεξόμενος Διὸς ὄμβρῳ.

---

rec. Tychs. Alterum significaret Jovem opitulatorem inter medios Achivos versari.

20. *ἀλλά σοι* A et vulgo; correxi.

22. *μήδ'* A et vulgo; correxi.

24. *καί ῥ' ὁ μὲν* A; corr. Rhod. — *ἐτέλεσσεν*, *ὅ* A; corr. Rhod.

28. *ἄνωγεν* conj. Rhod.

31. *ἑλλησπόντοιο* A; tacite corr. Rhod.

36. *περικαιέμεν* A; em. Rhod. Vid. Spitzner. *observv.* p. 210.

37. *αἰδούμενοι* AE1; *αἰδόμενοι* C1; et ita corr. Rhod. — *σφι* A, *σφιν* C1, quod male commendat Pauw., *σφισι* E1, quod rec. Tychs. — *ὀπήδει* A et vulgo; em. Spitzner. *l. c.*

38. Spitzner. *l. c.* p. 211 conjecit *πυραὶ καίοντο θαμειαί*, quod refutavi in Hermanni *rec.* p. 263. Nam neque imperfectum hic quadrat, cum non de eo sermo sit, quod ardentibus rogis, sed quod perfecto funere actum sit, et *πυραί* h. l. ipsi tumuli sunt in rogi loco editi. Jam Pauw. vitiose quidem *πυρὰς καίοντο θαμειάς* conjecerat.

39. *δὴ τότ'* A, *δὴ τότε* C1; „*δή ῥα τότ'* vel *δὴ τότ' ἄρ'*;" RHOD. Jam rec. Tychs. Lehrs.

41. *μάλα* manco versu A, *μάλα πολλὰ* C1; et ita em. Rhod., quod rec. Tychs. Lehrs.; Dausq. aut *μάλ' ἄρηι* aut *μάλα πάγχυ* conjecit.

45. Nulla lacuna in A. „*δινήεις*

*υἱὸς δ' αὖτ' Ἀχιλῆος ἀταρβέος ἵκετο πατρὸς*
*τύμβον ἐς εὐρώεντα· κύσεν δ' ὅγε δάκρυα χεύων*
*στήλην εὐποίητον ἀποφθιμένοιο τοκῆος·*
*καί ῥα περιστενάχων τοῖον ποτὶ μῦθον ἔειπε·*
*„χαῖρε πάτερ καὶ ἔνερθε κατὰ χθονός· οὐ γὰρ ἔγωγε*
*λήσομαι οἰχομένοιο σέθεν ποτὶ δῶμ' Ἀΐδαο·*
*ὡς εἴθε ζωόν σε μετ' Ἀργείοισι κίχανον·*
*τῷ κε τάχ' ἀλλήλοισι φρένας τερφθέντ' ἐνὶ θυμῷ*
*Ἰλίου ἐξ ἱερῆς ληισσάμεθ' ἄσπετον ὄλβον·*
*νῦν δ' οὔτ' ἄρ σύγ' ἐσεῖδες ἑὸν τέκος οὔτε σ' ἔγωγε*
*εἶδον ζωὸν ἐόντα λιλαιόμενός περ ἰδέσθαι·*
*ἀλλὰ καὶ ὣς σέο νόσφι καὶ ἐν φθιμένοισιν ἐόντος*
*σὸν δόρυ καὶ τεὸν υἷα μέγ' ἐν δαΐ πεφρίκασι*
*δυσμενέες, Δαναοὶ δὲ γεγηθότες εἰσορόωσι*
*σοὶ δέμας ἠδὲ φυὴν ἐναλίγκιον ἠδὲ καὶ ἔργα.“*
*ὣς εἰπὼν ἀπὸ θερμὸν ὀμόρξατο δάκρυ παρειῶν·*
*βῆ δὲ θοῶς ἐπὶ νῆας ὑπερθύμοιο τοκῆος*
*οὐκ οἶος· ἅμα γάρ οἱ ἴσαν δυοκαίδεκα φῶτες*
*Μυρμιδόνων, Φοῖνιξ δ' ὁ γέρων μετὰ τοῖσιν ὀπήδει*
*λυγρὸν ἀναστενάχων περικυδέος ἀμφ' Ἀχιλῆος.*
*νὺξ δ' ἐπὶ γαῖαν ἵκανεν, ἐπέσσυτο δ' οὐρανὸν ἄστρα·*
*οἳ δ' ἄρα δορπήσαντες ἕλονθ' ὕπνον· ἔγρετο δ' ἠώς·*

---

„adjectivum pro substantivo, quod „Xantho tribuitur.“ RHOD. Eam sententiam recte improbaverunt Dausq. et Pauw., modo ne ille *Ξάνθος ἐπιπροΐησι*, hic *ὁ Σιμόεις* aut *οἱ Σιμόεις προΐησιν* conjecissent. Bonitium *l. c.* p. 1242 Rhodomannianam sententiam repetentem, quam nonnullis stabilire frustra conatus est Dorvill. *vann. crit.* p. 353 sq., confutavit Spitzner. *observatt.* p. 33. Eo auctore lacunae signa posui. Et C1 *post* hunc versum habet *ξάνθος* — relicto lineae spatio, ut sit versus imperfectus.

48. *ἐΰποίητον* A; corr. Pauw.

53. *καὶ* A; corr. Rhod. — *φρένα* A; corr. Rhod. In C1 legitur: *τῷ τάχα καὶ ἀλλήλοις φρένα.*

54. *ληϊσόμεθ'* A, *ληΐζομεν* C1; corr. Rhod.

55. *τεὸν* A, *ἑὸν* E1, et ita em. Rhod., *σὺν* C1. — *οὐδέ σ' ἐγώπερ* A et vulgo; *οὔτε σ' ἔγωγε* ex mea conj. in *emendatt.* p. 230 rec. Lehrs. Id probat Spitzner. *observatt.* p. 212, sed hic quoque ut supra p. 120 retinet *οὐδέ* hoc sensu: *nec tu filium tuum vidisti, nedum ego te*, clarius ea scriptura desiderium patris in filii animo excitatum fieri ratus. Ego tamen meam teneo emendationem propterea, quod alterum ab altero separari nequit cogitando: patrem si vidisset Neoptolemus, ipse ab eo conspectus esset vice versa. Bonitius olim majore molimine suasit: *οὔτ' ἄρ' ἐγώ σε*, quo facile caremus.

56. *ἴδον* A, *ἶδον* C1; *εἶδον* corr. Pauw.

59. *δυσμηνέες* ex edit. Tychsen. in Lehrs. transiit.

62. *ὑπὲρ* A, *ἐπὶ* VNV3 E1 C1; et ita em. Rhod., Dausquejo *ὑπὸ*, Brodaeo *παρὰ* conjicientibus.

63. *οἶός θ'* C1; voluitne *οἶός γ'*? Quamquam eo non opus. Cfr. Ω. 573 et vid. Spitzner. *v. Gr. her.* p. 65. — *ἔσαν* A; corr. Rhod.

Ἀργεῖοι δ' ἄρ' ἔδυσαν ἐν ἔντεσι· τῆλε δ' ἀπ' αὐτῶν
αἴγλη μαρμαίρεσκεν ἐς αἰθέρα μέχρις ἰοῦσα·
καί ῥα θοῶς ἔκτοσθε πυλάων ἐσσεύοντο
πανσυδίῃ νιφάδεσσιν ἐοικότες, αἵτε φέρονται
ταρφέες ἐκ νεφέων κρυερῇ ὑπὸ χείματος ὥρῃ·
ὣς οἵγ' ἐξεχέοντο πρὸ τείχεος, ὦρτο δ' ἀϋτὴ
σμερδαλέη· μέγα δ' αἶα περιστεναχίζετ' ἰόντων.
Τρῶες δ' εὖτ' ἐπύθοντο βοὴν καὶ λαὸν ἴδοντο,
θάμβησαν· πᾶσιν δὲ κατεκλάσθη κέαρ ἔνδον
πότμον ὀϊομένων· περὶ γὰρ νέφος ὣς ἐφαάνθη
λαὸς δυσμενέων· κανάχιζε δὲ τεύχεα φωτῶν
κινυμένων· ἄμοτον δὲ κονίσαλος ὦρτο ποδοῖιν·
καὶ τότ' ἄρ' ἠὲ θεῶν τις ὑπὸ φρένας ἔμβαλε θάρσος
Δηιφόβῳ καὶ θῆκε μάλ' ἄτρομον, ἠὲ καὶ αὐτοῦ
θυμὸς ἐποτρύνεσκε ποτὶ κλόνον, ὄφρ' ἀπὸ πάτρης
δυσμενέων ἀλεγεινὸν ὑπ' ἔγχεϊ λαὸν ἐλάσσῃ·
θαρσαλέον δ' ἄρα μῦθον ἐνὶ Τρώεσσιν ἔειπεν·
„ὦ φίλοι, εἰ δ' ἄγε θυμὸν ἀρήιον ἐν φρεσὶ θέσθε
μνησάμενοι, στονόεντος ὅσα πτολέμοιο τελευτὴ

---

68. *ἄρα δύσαν* A, *ἄρα δῦσαν* Tychs. Lehrs.; correxi. — *ἐν* om. E1.

77 sq. „ex duobus unum facit E1 propter homoeoteleuton sic: *πότμον ὀϊομένων· καναχίζετο δὲ τ. φ.*" TYCHS.

78. *καναχίζετο* A; corr. Rhod., sed *καναχίζε* male editum apud Tychs. Lehrs.

79. *ἄμοτος* A et vulgo; em. Spitzner. *observv.* p. 212 sq. — *κονίσσαλος* A et vulgo; corr. idem *ibid.* p. 144.

81. *αὐτὸν* A et vulgo praeter Lehrs., qui ex mea sententia *emendd.* p. 230 *αὐτοῦ* recepit. Provocavi ad *Z*, 438 sq.

*ἤ πού τίς σφιν ἔνισπε θεοπροπίων εὖ εἰδώς,*
*ἤ νυ καὶ αὐτῶν θυμὸς ἐποτρύνει καὶ ἀνώγει.*

Qui vulgatum tuitus est Spitzner. *observv.* p. 213 multis locis nihil demonstravit, nisi quod nemini dubium est, verba hujuscemodi casu objectivo jungi.

83. *ὀλέσσῃ* A et vulgo praeter Lehrs., qui *ἐλάσσῃ* recepit ex mea sententia *emendd.* p. 230 sq. Demonstravi ibi nec Rhodomanni interpretationem („*ut a patria (repulsas) hostium copias neci daret*"), nec quam quis ex VII, 527 *ἔναιρεν ἀφ' ἕρκιος* confinxerit, ferri posse; contra rerum Trojanarum hoc in statu Deiphobo nihil amplius aut sperandum aut cupiendum fuisse, nisi ut ipsius virtute hostes undique moenia oppugnaturi *ab urbe* rursus *repellerentur.* Similes adduxi locos VII, 514 sq. VIII, 34. Oblocutus est Spitzner. *l. c.* p. 214 sq., qui novam protulit interpretationem: *ut infestum hostium exercitum procul a patria neci daret*, allatis V, 447. VIII, 100. V, 541. Nec magnopere differre videantur Homerica, ut *N*, 227. *Ξ*, 70. Tamen et nostro loco obscurum esset, cujus patria foret intelligenda, nec accuratius indicatus locus, quo caderent Achivi, simplici Deiphobi voto satis congrueret. Et cfr. *Π*, 44 sq.

84 sq. contrahit E1 sic: *θαρσαλέον δ' ἄρα μυθὸν ἀρήιον* etc.

85. *εἴ δ' ἄρα* A, *εἰ ἄρα* C1; em. Rhod.: „forte *εἰ δ' ἄγε.*"

ἄλγε᾽ ἐπ᾽ ἀνθρώποισι δορυκτήτοισι τίθησιν·
οὐ γὰρ Ἀλεξάνδροιο πέλει πέρι μοῦνον ἄεθλος
οὐδ᾽ Ἑλενης, ἀλλ᾽ ἔστι περὶ πτόλιός τε καὶ αὐτῶν
ἠδ᾽ ἀλόχων τεκέων τε φίλων γεραρῶν τε τοκήων
πάσης τ᾽ ἀγλαΐης καὶ κτήσιος ἠδ᾽ ἐρατεινῆς
γαίης, ἥ με δαμέντα κατὰ κλόνον ἀμφικαλύψοι
μᾶλλον, ἢ ἀθρήσαιμι φίλην ὑπὸ δούρασι πάτρην
δυσμενέων· οὐ γάρ τι κακώτερον ἔλπομαι ἄλλο
πῆμα μετ᾽ ἀνθρώποισιν ὀϊζυροῖσι τετύχθαι·
τοὔνεκ᾽ ἀπωσάμενοι στυγερὸν δέος ἀμφ᾽ ἐμὲ πάντες
καρτύνασθ᾽ ἐπὶ δῆριν ἀμείλιχον· οὐ γὰρ Ἀχιλλεὺς
ζωὸς ἔθ᾽ ἡμῖν ἄντα μαχήσεται, οὕνεκ᾽ ἄρ᾽ αὐτὸν
πῦρ ὀλοὸν κατέδαψε· πέλει δέ τις ἄλλος Ἀχαιῶν,
ὃς νῦν λαὸν ἔγειρεν, ἔοικε δὲ πάντ᾽ Ἀχιλῆι·
* * * * * *
μήτε τιν᾽ ἄλλον Ἀχαιὸν ὑποτρομέειν περὶ πάτρης
μαρναμένους· τῷ μή τι φεβώμεθα μῶλον Ἄρηος,
εἰ καὶ πολλὰ πάροιθεν ἀνέτλημεν μογέοντες·
ἢ οὔπω τόδε οἶδατ᾽ ἀνὰ φρένας, ὡς ἀλεγεινοῖς
ἀνδράσιν ἐκ καμάτοιο πέλει θαλίη τε καὶ ὄλβος,
ἐκ δ᾽ ἄρα λευγαλέων ἀνέμων καὶ χείματος αἰνοῦ
Ζεὺς ἐπάγει μερόπεσσι δι᾽ ἠέρος εὔδιον ἦμαρ,
ἔκ τ᾽ ὀλοῆς νούσοιο πέλει σθένος, ἔκ τε μόθοιο
εἰρήνη; τὰ δὲ πάντα χρόνῳ μεταμείβεται ἔργα."
ὣς φάτο· τοὶ δ᾽ ἐς Ἄρηα μεμαότες ἐντύναντο

88. *μοῦνος* A et vulgo praeter Lehrs., qui ex Bonitii conjectura *μοῦνον* scripsit. Verum id esse loci probant a Spitznero *l. c.* p. 40 allati, quamquam ille non prorsus damnaturus erat vulgatam.

89. *πόλιός* A, *πόληος* E1 C1; corr. Rhod. — *αὐτῶν* A; tacite corr. Rhod.

92. *ἀμφικαλύψει* A, *ἀμφικαλύψοι* C1 e corr.; et ita em. Rhod.

95. *μέγ᾽* A; em. Rhod. — *ἀνθρώποισι* ex editione Rhodomanniana in ceteras omnes transiit.

100. *ἄγειρεν* A et vulgo; em. Pauw. — Sequentia cum hujus versus exitu non congruere primus sensit Pauw. imperite tamen conjiciens v. 101: *μήτε τιν᾽ ἄλλον Ἀχαιῶν δεῖ τρομέειν π. π.* Tychs. e conjectura Heynii haec sic conflavit:

— — *ἔοικε δὲ μήτ᾽ Ἀχιλῆα*
*μήτε τιν᾽ ἄλλον Ἀχαιὸν ὑποτρομέειν* etc.

quem secutus est Lehrs. Hoc vero modo inepte denuo Achillis inferri mentionem, quem sepultum esse antecedentibus erat dictum, dixi in *programm. l.* p. 18 sq. ibique ejusmodi versum excidisse monui:

*ὃς νῦν λαὸν ἔγειρεν, ἔοικε δὲ πάντ᾽ Ἀχιλῆι·*
*[ἡμέας δ᾽, εἰ καὶ ἔοικεν, ὅμως χρὴ μήτε τι κεῖνον]*
*μήτε τιν᾽ ἄλλον Ἀχαιὸν ὑποτρομέειν.*

101. *Ἀχαιῶν* A; corr. Rhod.

109. *ἔργῳ* A, „*ἔργω* sine *ι* subscr. ex *α* correct." TYCHS.; *ἔργα* em. Rhod.

110. *ἐντύνοντο* hic et XI, 360 conjecit Wernick. *ad Tryph.* p. 350

ἐσσυμένως· καναχὴ δὲ κατὰ πτόλιν ἔπλετο πάντῃ
μῶλον ἐς ἀλγινόεντα κορυσσομένων αἰζηῶν·
ἔνθ' ἄρα τῷ μὲν ἄκοιτις ὑποτρομέουσα κυδοιμὸν
ἔντε' ἀποιχομένῳ παρενήνεε δακρυχέουσα·
τῷ δ' ἄρα νήπιοι υἷες ἐπειγόμενοι περὶ πατρὶ
τεύχεα πάντα φέρεσκον· ὃ δέ σφισιν ἄλλοτε μέν που
ἄχνυτ' ὀδυρομένοις, ὁτὲ δ' ἔμπαλι μειδιάασκε
παισὶν ἀγαλλόμενος· κραδίη δέ οἱ ἐν δαΐ μᾶλλον
ὥρμαινεν πονέεσθαι ὑπὲρ τεκέων τε καὶ αὐτοῦ·
ἄλλῳ δ' αὖτε γεραιὸς ἐπισταμένης παλάμῃσιν
ἀμφετίθει μελέεσσι κακῆς ἀλκτήρια χάρμης
πολλὰ παρηγορέων φίλον υἱέα, μηδενὶ εἴκειν
ἐν πολέμῳ, καὶ στέρνα τετυμμένα δείκνυε παιδὶ
ταρφέα σήματ' ἔχοντα παλαιῆς δηιοτῆτος.
ἀλλ' ὅτε δὴ μάλα πάντες ἐν ἔντεσι θωρήχθησαν,
ἄστεος ἐξεχέοντο μέγ' ἱέμενοι πολέμοιο
λευγαλέου· ταχέεσσι δ' ἐφ' ἱππήεσσιν ὄρουσαν
ἱππῆες· πεζοῖσι δ' ἐπέχραον ἔθνεα πεζῶν·
ἅρμασι δ' ἅρμαθ' ἵκοντο καταντίον· ἔβραχε δὲ χθὼν
ἐς μόθον ἐσσυμένων· ἐπαΰτεε δ' οἷσιν ἕκαστος
κεκλόμενος· τοὶ δ' αἶψα συνήιον· ἀμφὶ δ' ἄρα σφι
τεύχε' ἐπεσμαράγησε· μίγη δ' ἑκάτερθεν ἀϋτὴ
λευγαλέη· τὰ δὲ πολλὰ θοῶς ποτέοντο βέλεμνα
βαλλόμεν' ἀμφοτέρωθεν· ὑπ' ἔγχεσι δ' ἀσπίδες ἀνδρῶν

---

ex VI, 116. XII, 574. XIII, 29. XIV, 346. 405, quibus locis recte quidem legitur imperfectum. Sed cur ideo aoristo, ubi quidem suam vim habet, bellum indicamus? Itaque miror et Spitznerum *observatt.* p. 126 Wernickio assensum esse, et Lehrsium *ἐντύνοντο* scripsisse.

114. *ἐποιχομένῳ* A; em. Rhod.; *ἐπειγομένῳ* conj. Brodaeus. — *παρανήνεε* A; *παρανήεε* Tychsen. errore; corr. Spitzner. *mant.* p. 248.

117. *ὀδυρόμενος* conj. Struv. min. *observatt.* p. 22 sq. Sed quidni pueri plorent, parente in bellum ruituro? — *μειδιάασκεν* A et vulgo; correxi.

118. *δέ οἱ δαΐ* A, *δὲ ἐν δαΐ* E1, *δέ οἱ ἐν δαΐ* VNV123 C1a; et ita corr. Rhod.

119. *αὐτοῦ* A et vulgo praeter Lehrs.; corr. Spitzner. *observatt.* p. 109.

121. *μέλλεσι* V. — *ἀλκήρια* A; corr. Dausq.

122. *υἷα* A; corr. Rhod. — Cfr. Herm. *Orph.* p. 746.

127. *ἀργαλέου* in marg. E1.

128. *φωτῶν* A et vulgo; *πεζῶν* em Rhod. Pauw. et pluribus commendavit Spitzner. *l. c.* p. 215 sq.

131. *ἀνά* A; corr. Rhod.

132. *μίη* A et vulgo praeter Lehrs., qui *μίγη* scripsit, quod et ego conjeci *emendd.* p. 231 et occupaverat Struv. major in *programm.* I, p. 12. Cfr. Spitzner. *l. c.* p. 216.

134. *ἔγχεϊ* A et vulgo praeter Lehrs., qui *ἔγχεσι* scripsit ex mea emendatione *l. c.* p. 232. Vid. Spitzner. *l. c.* p. 217, qui jam Rhodomannum vertendo idem indicasse monuit. Cfr. *Ξ*, 26 *νισσομένων ξίφεσίν τε καὶ ἔγχεσιν.*

θεινόμεναι κτυπέεσκον ἀάσχετον, αἱ δ᾽ ὑπ᾽ ἀκόντων
καὶ ξιφέων· πολέες δὲ καὶ ἀξίνῃσι θοῇσιν
ἀνέρες οὐτάζοντο· φορύνετο δ᾽ ἔντεα φωτῶν
αἵματι. Τρωιάδες δ᾽ ἀπὸ τείχεος ἐσκοπίαζον
αἰζηῶν στονόεντα μόθον· πάσῃσι δὲ γυῖα
ἔτρεμεν εὐχομένῃσιν ὑπὲρ τεκέων τε καὶ ἀνδρῶν
ἠδὲ κασιγνήτων· πολιοὶ δ᾽ ἅμα τῇσι γέροντες
ἕζοντ᾽ εἰσορόωντες· ἔχον δ᾽ ὑπὸ χείρεσι *
* * * ἔδον δ᾽ ὑπὸ πένθεσι θυμὸν
παίδων ἀμφὶ φίλων· Ἑλένη δ᾽ ἐν δώμασι μίμνεν
οἴη ἅμ᾽ ἀμφιπόλοισιν· ἔρυκε γὰρ ἄσπετος αἰδώς.
οἳ δ᾽ ἄμοτον πονέοντο πρὸ τείχεος· ἀμφὶ δὲ Κῆρες
γήθεον· οὐλομένη δ᾽ ἐπαΰτεεν ἀμφοτέροισι
μακρὸν Ἔρις βοόωσα· κόνις δ᾽ ἐρυθαίνετο λύθρῳ
κτεινομένων· ὀλέκοντο δ᾽ ἀνὰ κλόνον ἄλλοθεν ἄλλος.
ἔνθ᾽ ἄρα Δηίφοβος κρατερὸν κτάνεν ἡνιοχῆα
* Ἱππασίδην, ὃ δ᾽ ἀφ᾽ ἅρματος αἰψηροῖο
ἤριπεν ἀμφὶ νέκυσσιν· ἄχος δέ οἱ ἔσχεν ἄνακτα·
δείδιε γάρ, μὴ δή μιν ἐφ᾽ ἡνία χεῖρας ἔχοντα
υἱὸς ἐῢς Πριάμοιο κατακτείνῃσι καὶ αὐτόν·
ἀλλά οἱ οὐκ ἀμέλησε Μελάνθιος· ἀλλ᾽ ἐπὶ δίφρον
ἆλτο θοῶς, ἵπποισι δ᾽ ἐκέκλετο μακρὰ τινάσσων
εὔληρ᾽, οὐδ᾽ ἔχε μάστιν, ἔλαυνε δὲ δούρατι θείνων·
καὶ τοὺς μὲν Πριάμοιο πάϊς λίπεν, ἵκετο δ᾽ ἄλλων

---

142. *ἔχον δ᾽ ὑπὸ χείρεσι θυμὸν* sine lacuna A; „forte *ἔδον δ᾽ ὑπὸ κήδεσι θ.*“ RHOD. *ἔχον δ᾽ ὑπὸ κήδεσι* Brod., *ἔχον δ᾽ ὑπὸ χείρεσι* Dausq. conj., quorum posterius Pauw. probat, tum vulgatae explicandae periculum facit: *habebant in manibus animum et fiduciam propter caram sobolem;* “ quas ineptias multis verbis magis etiam obscuravit. Tychs. et Lehrs. Brodaeum secuti sunt. Lacunam esse fere hoc modo explendam:

— — — *ἔχον δ᾽ ὑπὸ χείρεσι* [*γοῦνα ἀμφιπεριπλέξαντες*]· *ἔδον δ᾽ ὑπὸ πένθεσι θυμὸν*

dixi in *programm. l.* p. 19. De illo sedentium lugubri habitu vid. ad XIV, 386.

143. *ἐνὶ* A et vulgo; correxi.

144. *ἅμ᾽* om. A; supplevit Rhod.

149. *κτένεν* A, *κτάνεν* E1; et ita corr. Rhod.

150. Versus in omnibus libris mutilus; in C1 post *Ἱππασ.* spatiolum. „Deest proprium nomen, quale est *Νέστορος* aut simile. Supra VI, 562 Alcimedes Ajacis Oilei amicus interfecit a partibus Trojanorum aurigam *Πάμμονος Ἱππασίδην.*“ RHOD. Hinc recte initio versus lacunae signum posuit Tychs.; Dausq. ex v. 156 male conj. *Ἱππασίδην Εὔκληρον.*

151. *ἔχεν* E1. — „Rhod. ex Basil. dedit *εἶχεν.*“ PAUW.

152. *δῆριν* A; „*δή μιν* aut *δηρὸν.*“ RHOD. Prius recte praetulerunt.

153. *κατακτείνησι* A.

156. *Εὐκλήρου δ᾽ ἔχε* A, *εὐλήρου δ᾽ ἔχε* V, *εὔληρ᾽, οὐδ᾽ ἔχε* NV3 E1; et ita em. Rhod. addens: „Nomine isto Homerus semel utitur Il. *Ψ*, v. 481.“ Cfr. ad IV, 508.

*ἐς πληθύν· πολέεσσι δ' ὀλέθριον ὤπασεν ἦμαρ*
*ἐσσυμένως· ὀλοῇ γὰρ ἀλίγκιος αἰὲν ἀέλλῃ*
*θαρσαλέως δηίοισιν ἐπῴχετο· τοῦ δ' ὑπὸ χερσὶ*
*μυρίοι ἐκτείνοντο· πέδον δ' ἐστείνετο νεκρῶν·*
*ὡς δ' ὅτ' ἀν' οὔρεα μακρὰ θορὼν εἰς ἄγκεα βήσσης*
*δρυτόμος ἐγκονέων νεοθηλέα δάμναται ὕλην,*
*ἄνθρακας ὄφρα κάμῃσι κατακρύψας ὑπὸ γαῖαν*
*σὺν πυρὶ δούρατα πολλά· τὰ δ' ἄλλοθεν ἄλλα πεσόντα*
*πρῶνας ὕπερθε κάλυψαν, ἀνὴρ δ' ἐπιτέρπεται ἔργῳ·*
*ὣς ἄρα Δηιφόβοιο θοῇς ὑπὸ χερσὶν Ἀχαιοὶ*
*ἰλαδὸν ὀλλύμενοι περικάππεσον ἀλλήλοισι·*
*καί ῥ' οἳ μὲν Τρώεσσιν ὁμίλεον, οἳ δ' ἐφέβοντο*
*εὐρὺν ἐπὶ Ξάνθοιο ῥόον· τοὺς δ' ὕδατος εἴσω*
*Δηίφοβος συνέλασσε καὶ οὐκ ἀπέληγε φόνοιο·*
*ὡς δ' ὁπότ' ἰχθυόεντος ἐπ' ἠόσιν Ἑλλησπόντου*
*δίκτυον ἐξερύωσι πολύκμητοι ἁλιῆες*
*κολπωθὲν ποτὶ γαῖαν, ἔσω δ' ἁλὸς εἰσέτ' ἐόντος*
*ἐνθόρῃ αἰζηὸς γναμπτὸν δόρυ χερσὶ μεμαρπὼς*
*αἰνὸν ἐπὶ ξιφίῃσι φέρειν φόνον* * *
* * * * *ἄλλοθεν ἄλλον*
*δάμναται ὅν κε κίχῃσι, φόνῳ δ' ἐρυθαίνεται ὕδωρ·*
*ὣς τοῦ ὑπαὶ παλάμῃσι περὶ Ξάνθοιο ῥέεθρα*
*αἵματι φοινίχθησαν, ἐνεστείνοντο δὲ νεκροί.*
*οὐδὲ μὲν οὐδ' ἄρα Τρῶες ἀναιμωτὶ πονέοντο,*
*ἀλλά σφεας ἐδάϊζεν Ἀχιλλέος ὄβριμος υἱὸς*
*ἀμφ' ἄλλῃσι φάλαγξι· Θέτις δέ που εἰσορόωσα*
*τέρπετ' ἐφ' υἱωνῷ, ὅσον ἄχνυτο Πηλείωνι·*

---

159. *ἐναλίγκιος* AV; tacite em. Rhod.
160. *ἐπεύχετο* A, *ἐπέρχετο* VE1C1; „*ἐπέρχετο* vel *ἐπῴχετο*.“ RHOD. Prius male praetulit Tychs., alterum reposuit Lehrs. monitus a Spitznero *mant.* p. 244 sq.
162. Cfr. Spitzner. *observv.* p. 141.
165. *μακρά* A et vulgo, *πολλά* V, quod reposui propter v. 161 *μυρίοι ἐκτείνοντο* et v. 168 *ἰλαδὸν ὀλλύμενοι.*
171. *συνέλασε* A; corr. Rhod.
174. *ἐόντας* A; em. Rhod.
176. *ξιφίεσσι* C1. — *φέρει φ., ἄλλοθεν δ' ἄ.* A sine lacuna; *φέρειν* vel *φέρων* conj. Pauw., *ἄλλοθε δ' ἄ.* Rhod., quod ipsum et supra *φέρων* recepp. Tychs. Lehrs. Sed inaudita est forma *ἄλλοθε,* nec in hac quidem locutione *ἄλλοθι* usitatum: vid. ad VIII, 333. Accedit quod insiliendi et trucidandi laborem in hac comparatione accurate distinctum esse variati modi ostendunt. Itaque vix dubitari poterat, quin hic quoque defectus subesset. Alius fortasse conjecisset:

*αἰνὸν δὲ ξιφίῃσι φέρων φόνον*
*ἄλλοθεν ἄλλον.*

177. *κίχησι* A. — *ἐρυθαίνετο* V.
179. *νεκροῖς* conj. Pauw.
181. *ἀλλὰ σφέας* A et vulgo; correxi. — *ὄβριμος* A hic quidem.

*τοῦ γὰρ ὑπὸ μελίῃ πουλὺς στρατὸς ἐν κονίῃσι*
*πίπτεν ὁμῶς ἵπποισιν· ὃ δ' ἑσπόμενος κεράϊζεν·*
*ἔνθ' Ἀμίδην ἐδάϊξε περικλυτόν, ὅς ῥά οἱ ἵππῳ*
*ἑζόμενος συνέκυρσε καὶ οὐκ ἀπόνητ' ἐρατεινῆς*
*ἱππασίης· δὴ γάρ μιν ὑπ' ἔγχεϊ τύψε φαεινῷ*
*ἐς νηδύν· αἰχμὴ δὲ ποτὶ ῥάχιν ἐξεπέρησεν·*
*ἔγκατα δ' ἐξεχύθησαν· ἕλεν δέ μιν οὐλομένη Κὴρ*
*ἐσσυμένως ἵπποιο θοοῦ παρὰ ποσσὶ πεσόντα.*
*εἷλε δ' ἄρ' Ἀσκάνιόν τε καὶ Οἴνοπα, τὸν μὲν ἐλάσσας*
*δουρὶ μέγα στομάχοιο ποτὶ στόμα, τὸν δ' ὑπὸ λαιμόν,*
*καίριος ἔνθα μάλιστα πέλει μόρος ἀνθρώποισιν.*
*ἄλλους δ' ἔκτανεν αἰέν, ὅσους κίχε· τίς κεν ἐκείνους*
*ἀνδρῶν μυθήσαιτο, κατὰ κλόνον ὅσσοι ὄλοντο*
*χερσὶ Νεοπτολέμοιο; κάμεν δέ οἱ οὔποτε γυῖα·*
*ὡς δ' ὁπότ' αἰζηῶν τις ἀγρῷ ἐνὶ τηλεθάοντι*
*πᾶν ἦμαρ κρατερῇσι πονησάμενος παλάμῃσιν*
*ἐς γαῖαν κατέχευεν ἀπείρονα καρπὸν ἐλαίης*
*ῥάβδῳ ἐπισπέρχων, ἐκάλυψε δὲ χῶρον ὕπερθεν·*
*ὣς τοῦ ὑπαὶ παλάμῃσι κατήριπε πουλὺς ὅμιλος.*
*Τυδείδης δ' ἑτέρωθεν ἐϋμμελίης τ' Ἀγαμέμνων*
*ἄλλοι τ' ἐν Δαναοῖσιν ἀριστῆες πονέοντο*
*προφρονέως ἀνὰ δῆριν ἀμείλιχον· οὐδὲ μὲν ἐσθλοῖς*
*Τρώων ἡγεμόνεσσι δέος πέλεν, ἀλλὰ καὶ αὐτοὶ*
*ἐκ θυμοῖο μάχοντο καὶ ἀνέρας αἰὲν ἔρυκον*
*χαζομένους· πολέες γε μὲν οὐκ ἀλέγοντες ἀνάκτων*
*ἐκ πολέμοιο φέβοντο μένος τρομέοντες Ἀχαιῶν.*

---

186. *ἵππων* A; *ἵππῳ* em. Pauw., qui etiam *ἵππον* tentat.

193. *μετὰ* A, *κατὰ* E1; *μέγα* em. Rhod.

195. *ἔκτανεν, ὅσους* A manco versu; „ubique lacuna." SCHOW.; *ὅσσους* C1. „*ἄλλους δ' ἔκτανεν αὖθις* vel *αἰὲν*, vel *ἄλλους δ' αὖτ' ἔκτεινεν, ὅσους.*" RHOD. Brod. *ἄ. δ' ἔ. ἄνδρας*, Dausq. *ἄ. δ' ἄλλοτε κτεῖνεν*, Pauw. *ἄ. δ' ἔ. πάντας* conjecerunt. Ex Rhodomannianis *αὖθις* recepit Tychs., *αἰὲν* recipiendum fuisse monui in *emendatt.* p. 232, quod secutus est Lehrs. — Pauw. *ἑκάστους* vel *ἕκαστον* propter sequentem genitivum conjecit. Sed recte Rhod.: „quisnam illos enumeret, in conflictu virum quot neci dati fuerint;" neque debebam ego *l. c.* *τίς* cum *ἀνδρῶν* jungere.

199. *πανῆμαρ* A; corr. Tychs. — „Notabile et hic de oleis." HEYN.

201. Ne quis *ἔνερθε* tentet, recte Rhod. vertit: „loci superficiem operit." Cfr. *E*, 503. *Ω*, 797. *ξ*, 476. *π*, 47. *υ*, 2.

202. *οὗ* A, *τοῦ* E1C1; et ita corr. Rhod.

203. *ἐϋμελίης* A, *ἐϋμμ.* E1; et ita corr. Pauw.

208. *δέγε οὐκ* A, *δὲ οὐκ* C1, *δ' οὐκ* VE1; *δὲ καὶ οὐκ* conj. Rhod., recepp. Tychs. Lehrs., retinet Gerhard. *lectt. Ap.* p. 219; *δέ οἱ οὐκ* olim volebat Herm. *Orph.* p. 808; *γε μὲν οὐκ* nos: vid. ad IV, 568.

*ὀψὲ δ' ἄρ' εἰσενόησε περὶ προχοῇσι Σκαμάνδρου*
*ὀλλυμένους Δαναοὺς κρατερὸς πάϊς Αἰακίδαο*
*αἰὲν ἐπασσυτέρους· λίπε δ' οὓς πάρος αὐτόθ' ἔναιρε,*
*φεύγοντας ποτὶ ἄστυ, καὶ Αὐτομέδοντι κέλευε*
*κεῖσ' ἐλάαν, ὅθι πουλὺς ἐδάμνατο λαὸς Ἀχαιῶν·*
*αὐτὰρ ὅγ' αἶψ' ἐπίθησε καὶ ἀθανάτων μένος ἵππων*
*σεύεσκεν μάστιγι ποτὶ κλόνον· οἳ δ' ἐπέτοντο*
*ῥίμφα διὰ κταμένων κρατερὸν φορέοντες ἄνακτα·*
*οἷος δ' ἐς πόλεμον φθισίμβροτον ἔρχεται Ἄρης*
*ἐμβεβαὼς ἵπποισι, περιτρομέει δ' ἄρα γαῖα*
*ἐσσυμένου, καὶ θεῖα περὶ στέρνοισι θεοῖο*
*τεύχε' ἐπιβρομέουσιν ἶσον πυρὶ μαρμαίροντα·*
*τοῖος Ἀχιλλῆος κρατεροῦ πάϊς ἤιεν ἄντην*
*ἐσθλοῦ Δηιφόβοιο· κόνις δ' ἐπαείρετο πολλὴ*
*ἵππων ἀμφὶ πόδεσσιν· ἰδὼν δέ μιν ἄλκιμος ἀνὴρ*
*Αὐτομέδων ἐνόησεν, ὅτις πέλεν· αἶψα δ' ἄνακτι*
*τοῖον ἔπος κατέλεξε περικλυτὸν ἄνδρα πιφαύσκων·*
„*ὦ ἄνα, Δηιφόβοιο πέλει στρατὸς ἠδὲ καὶ αὐτός,*
* * * * * *
*σεῖο πάροιθε τοκῆος ὑπέτρεμε· νῦν δέ οἱ ἐσθλὸν*

---

210. *ἐνόησε* V. — *Καμάνδρου* A, *Σκαμάνδρου* VC2; in C1 *σ* erasum; „*Σκαμάνδρου*, qui tamen a *κάμνειν* et *ἄνδρας* nomen accepit." RHOD. Homerica forma praeferenda fuit ei, qua Nonnus uti consuevit.

212. *αὐτὸς* A et vulgo, cujus vocabuli ineptias paullum obscuravit Rhodomanni interpretatio: „quibus antea trucidandis instabat." Certe si Neoptolemi persona pronomine illo efferretur, alio loco ab aliis Graecis Trojanos trucidari consentaneum esset. Sed contra ad Scamandri ripas illi a Deiphobo vexantur. Quod scripsi, commendant Homerica *E*, 847. *K*, 273. 443 et alia. — *ἔναιρεν* A et vulgo; correxi.

213. *πρὸ τὶ* A; *ποτὶ* vulgo. — *κέλευεν* A et vulgo; correxi.

215. *αἶψα πίθησε* A et vulgo; correxi.

219. *γυῖα* A, *γαῖα* VNV3 E1a; et ita em. Rhod.

221. *τεύχη* A et vulgo; correxi.

222. *θρασὺς* C2, sed in marg. *γρ. κρατεροῦ*.

225. *ὅστις* A, *ὅ,τις* C1; et ita corr. Rhod.

226. *πιφάσκων* A, corr. Tychs. monitus ab Heynio. — De simplici personae accusativo juncto cum verbis sentiendi et declarandi vid. *K*, 478. Apoll. Rhod. II, 959. III, 352. 406. 1074. 1097. IV, 262. 1076. Callim. II, 65. Nonn. I, 57. IV, 191. 193. 320. VI, 55. 80. VII, 158. IX, 321. X, 212. XVII, 274. XVIII, 3. 5. 34. XXIX, 24.

227. *ἄναξ* A, *ἄνα* VNV3 E1a; et ita corr. Rhod.

228. In A haec sic continuantur: *Δηιφόβοιο πέλει στρατὸς, ἠδὲ καὶ αὐτὸς Σεῖο πάροιθε τοκῆος ὑπέτρεμε*, quod cum Rhod. vertit: „Deiphobi (iste) globus est. At ipse etiam parentem tuum antea expavit;" legisse videtur *ὃς δὲ καὶ αὐτός*. Eo paullo melius Brod. *ἠδὲ καὶ αὐτός* cum antecedentibus junxit et tum scripsit *σεῖο πάροιθε τοκῆ' ὃς ὑπέτρεμε*, quod recepp. Tychs. Lehrs. Quem apostrophum hic quidem inelegantem et paene intolerabilem dixi in *programm. l.*

ἤ θεὸς ἤ δαίμων τις ὑπὸ κραδίην βάλε θάρσος.“
ὣς ἄρ᾽ ἔφη· ὃ δ᾽ ἄρ᾽ οὔτι προσέννεπεν, ἀλλ᾽ ἔτι μᾶλλον
ἵππους ὀτρύνεσκεν ἐλαυνέμεν, ὄφρα τάχιστα
ὀλλυμένοις Δαναοῖσιν ἀεικέα πότμον ἀλάλκοι.
ἀλλ᾽ ὅτε δή ῥ᾽ ἀφίκοντο μάλα σχεδὸν ἀλλήλοισι,
δὴ τότε Δηίφοβος μάλα περ χατέων πολέμοιο
ἔστη, ὅπως πῦρ αἰνόν, ὅθ᾽ ὕδατος ἐγγὺς ἵκηται·
θάμβεε δ᾽ εἰσορόων κρατερόφρονος Αἰακίδαο
ἵππους ἠδὲ καὶ υἷα πελώριον, οὔτι τοκῆος
μείονα· τοῦ δ᾽ ἄρα θυμὸς ὑπὸ φρεσὶν ὁρμαίνεσκεν
ἄλλοτε μὲν φεύγειν, ὁτὲ δ᾽ ἀνέρος ἄντα μάχεσθαι·
ὡς δ᾽ ὅτε σῦς ἐν ὄρεσσι νεηγενέων ἀπὸ τέκνων
θῶας ἀποσσεύῃσι, λέων δ᾽ ἑτέρωθι φανείη
ἔκποθεν ἐσσύμενος, τοῦ δ᾽ ἵσταται ἄσπετος ὁρμὴ
οὔτε πρόσω μεμαῶτος ἔτ᾽ ἐλθέμεν οὔτ᾽ ἄρ᾽ ὀπίσσω,
θήγει δ᾽ ἀφριόωντας ὑπὸ γναθμοῖσιν ὀδόντας·
ὣς υἱὸς Πριάμοιο σὺν ἅρμασι μίμνε καὶ ἵπποις
πορφύρων φρεσὶ πολλὰ καὶ ἀμφαφόων δόρυ χερσί·
τὸν δ᾽ υἱὸς προσέειπεν ἀμειλίκτου Ἀχιλῆος·
„Πριαμίδη, τί νυ τόσσον ἐπ᾽ Ἀργείοισι μέμηνας
χειροτέροις, οἳ σεῖο περιτρομέοντες ὁμοκλὴν
φεῦγον ἐπεσσυμένοιο, σὺ δ᾽ ἔλπεο πολλὸν ἄριστος
ἔμμεναι; ἀλλὰ σοὶ εἴπερ ὑπὸ κραδίῃ μένος ἐστίν,
ἡμετέρης πείρησαι ἀνὰ κλόνον ἀσχέτου αἰχμῆς.“
ὣς εἰπὼν οἴμησε λέων ὣς ἄντ᾽ ἐλάφοιο
ἐμβεβαὼς ἵπποισι καὶ ἅρμασι πατρὸς ἑοῖο·

---

p. 19, ibique p. seq. lacunam videri dixi ita fere explendam esse:

[ὅς ῥ᾽ ἀμφ᾽ Ἕκτορα δῖον ὅμως κράτος ἠδὲ καὶ ἔγχος]
*σεῖο πάροιθε τοκῆος ὑπέτρεμε.*

Addidi: „Fortasse Automedon Achillis auriga extremum Hectoris cum Achille certamen respicit, ad quod Hectorem Minerva concitavit Deiphobi formam induta. Auriga illius rei nescius Deiphobum ipsum Hectore deserto fugisse arbitratur.“

230. *τὸν δ᾽ ἄρα οὔτι προσέειπεν* A, *τὸν δ᾽ ἄρ᾽ οὔτι προσένεπεν* E1, *τὸν δ᾽ (ὅδ᾽) οὔτι προσέειπεν* C1; *τὸν δ᾽ οὔτι προσέννεπεν* em. Rhod., recepp. Tychs. Lehrs. Sed quod ego posui, propius ad librorum lectionem accedit.

231. *ὤτρύνεσκεν* A et vulgo; corr. Lehrs.

238. *ὥρμαίνεσκεν* A et vulgo; correxi.

241. *ἀποσσεύησι* A; corr. Tychs. — *ἑτέρωθε* Lehrs., forma suspecta, quam jam rejeci in *rec. l.* p. 79.

248. *μέμηνας* A et Tychs.; corr. Lehrs.

250. *ἤλπεο* A et vulgo; corr. Spitzner. *observatt.* p. 217.

251. *ἀλλά σοι* A et vulgo; correxi. — *κραδίη* A; tacite corr. Rhod.

252. *ὁρμῆς* A, *αἰχμῆς* E1, quod recepit Tychs. provocans ad VIII, 159.

καί νύ κέ μιν τάχα δουρὶ σὺν ἡνιόχῳ κατέπεφνεν,
εἰ μή οἱ μέλαν αἶψα νέφος κατέχευεν Ἀπόλλων
ἔκποθεν Οὐλύμποιο καὶ ἐξ ὀλοοῖο μόθοιο
ἥρπασε, καί μιν ἔθηκε ποτὶ πτόλιν, ἧχι καὶ ἄλλοι
Τρῶες ἴσαν φεύγοντες· ὃ δ' ἐς κενεὸν δόρυ τύψας
Πηλείδαο πάϊς τοῖον ποτὶ μῦθον ἔειπεν·
„ὦ κύον ἐξήλυξας ἐμὸν μένος· οὐδὲ σοὶ ἀλκὴ
ἱεμένῳ περ ἄλαλκε, θεῶν δέ τις ὅς σ' ἐκάλυψε
νύκτα βαλὼν καθύπερθε, καὶ ἐκ κακότητος ἐρύσσας
* * * * * ἔρυξεν."
ὣς ἄρ' ἔφη· δνοφερὸν δὲ νέφος καθύπερθε Κρονίων

---

259. *ἴσαν* conj. Spitzner. *mant.* p. 216 sq., quo hic quidem facile carebimus. — *κενεὴν* A et vulgo; *κενεὸν* ego scripsi ex IV, 359. Cfr. ad v. sq. — *δορὶ* ex *N*, 529. *Y*, 462 et Quint. XI, 56, qui locus ipse mutari debebat, conj. Bonit. *l. c.* p. 1238, recepitque Lehrs. Sed *τύπτειν* cum h. l. idem fere sit atque *πάλλειν*, ut similiter infra X, 61 dictum *πάλλε δὲ λοίγιον ἔγχος ἐς ἠέρα*, recte cum quarto casu hastae vibratae jungi potuisse docui in *emendatt.* p. 232. Vid. I, 256 *ἐλάσας δόρυ*. II, 446 *ἔγχος — βεβλημένον* ex M, ubi cfr. not.; Nonn. XXXII, 196 *πεπαρμένον ἔγχος;* idem XXXIX, 316 de sagitta *ἄλλος ἐὴν προτόνοισι πεπαρμένος*. Hinc satis defenditur, quod IV, 558 sq. scripsi *ἱμάσθλην — πεπληγώς*, quoniam ibi sermo de flagello *agitato*. Cfr. Eurip. Or. 1476 sq. *παίειν λαιμὸν ἔμελλεν εἴσω μέλαν ξίφος*.

260. *ἠέρα Π. π. τοῖον ποτὶ μῦθον ἔειπεν* A; „expunge *τοῖον* vel hoc retento *ἠέρα*. Quod tamen nolim." RHOD. Pauw. aut *ἠέρα Πηλείδης τ. π. μ. ἔ.* aut *ἠέρα παῖς Πηλείδου ἔειπε τοῖον ποτὶ μῦθον* conj., exagitatus eo nomine a *Dorvill.* vann. crit. p. 381, qui et *l. c.* et p. 590 potius *μῦθον* omittendum putat. Sed vid. ad I, 99. Tychs. *ἠ. Π. π. τοῖον φάτο μῦθον* ex C1 scripsit, allatis II, 389. IX, 312. XII, 24. 219. XIII, 468. Rectius *ἠέρα* omisit Lehrs.: modo v. antecedente *κενεὸν* scripsisset.

261. *κύων* A, *κύον* E1; et ita corr. Rhod. — *οὐδέ σοι* A; correxi.

262. *ὅσσ' ἐκάλυψε* A et vulgo; em. Hermann. *l. c.* p. 263. Vid. ad v. 264 Spitzner. *observatt.* p. 219 *ὅσσε κάλυψε* corrigebat.

263. *ἐρύξας* AE1C12, *ἔρυξεν* M1, sine ullo defectus indicio.

264. om. AVE1C12 et, ut videtur ceteri cdd. omnes praeter unum N, ex quo additus est. Hinc locus multis dubitationibus obnoxius fuit. — „*σὲ δ' ἐκ κακότητος ἐρύσσας.* Hic autem aliquid deesse, cum hiet narratio, manifestum est. Expleri tamen hiatus iste potest, si pro *ἐρύξας*, quod alias vitiatum est, restituatur *ἔρυσσεν*. Et mox pro *εὖτ', ὥς δ' ὀμίχλην*. In tertio autem inde versus initio *Τρῶας ὃ δ' εἰσενόησεν*. Ad hanc igitur castigationem qualemcunque interpretatio conformata est. Quod aequus lector boni consulet." RHOD. In ejus conjectura ex omni parte acquiescere videtur Spitzner. *observatt.* p. 219, quamquam ea praesertim in loco lacunoso satis dubia est neque omni ex parte satisfacit; *ἐρύξας* retinuerunt Tychs. Lehrs. Recte Hermann. *l. c.* intellexit, non Neoptolemi oculos sed ipsum Deiphobum tenebricosa nube ab Apolline contegi. Ejus emendatione igitur recepta locum fere ita a Quinto exornatum esse putavi in *emendatt.* p. 20:

— — — *θεῶν δέ τις ὅς σ' ἐκάλυψε*
*νύκτα βαλὼν καθύπερθε καὶ ἐκ κακότητος ἐρύσσας,*
[*σεῖο φυγοπτολέμοιο κακὰς ἀπὸ κῆρας*] *ἔρυξεν.*

*εὖτ' ὀμίχλην διέχευε· λύθη δ' εἰς ἠέρα μακρήν·*
*αὐτίκα δ' ἐξεφάνη πεδίον καὶ πᾶσα περὶ χθών·*
*Τρῶας δ' εἰσενόησεν ἀπόπροθι πολλὸν ἐόντας*
*Σκαιῇς ἀμφὶ πύλῃσιν· ἔβη δ' ἄρα πατρὶ ἐοικὼς*
*ἀντία δυσμενέων οἵ μιν φοβέοντο κιόντα·*
*ἠΰτε κῦμ' ἀλεγεινὸν ἐπεσσύμενον τρομέουσι*
*ναῦται, ὅ τ' ἐξ ἀνέμοιο διεγρόμενον φορέηται*
*εὐρὺ μάλ' ὑψηλόν τε, μέμηνε δὲ λαίλαπι πόντος·*
*ὣς τοῦ ἐπερχομένοιο κακὸν δέος ἄμφεχε Τρῶας·*
*τοῖον δ' ἔκφατο μῦθον ἐποτρύνων ἑτάροισι·*
*„κλῦτε φίλοι καὶ θάρσος ἐνὶ στήθεσσι βάλεσθε*
*ἄτρομον, οἷον ἔοικε φορήμεναι ἀνέρας ἐσθλοὺς*
*νίκην ἱεμένους ἐρικυδέα χερσὶν ἀρέσθαι*
*καὶ κλέος ἐκ πολέμοιο δυσηχέος· ἀλλ' ἄγε θυμὸν*
*παρθέμενοι πονεώμεθ' ὑπὲρ μένος, εἰσόκε Τροίης*
*πέρσωμεν κλυτὸν ἄστυ καὶ ἐκτελέσωμεν ἐέλδωρ·*
*αἰδὼς γάρ, μάλα πολλὸν ἐπὶ χρόνον ἔνθα μένοντας*
*ἔμμεναι ἀπρήκτους καὶ ἀνάλκιδας, οἷα γυναῖκας·*
*τεθναίην γὰρ μᾶλλον ἢ ἀπτόλεμος καλεοίμην."*
*ὣς φάτο· τοὶ δ' ἔτι μᾶλλον ἐς Ἄρεος ἔργον ὄρουσαν*
*θαρσαλέως, Τρώεσσι δ' ἐπέδραμον· οἳ δὲ καὶ αὐτοὶ*
*προφρονέως μάρναντο περὶ πτόλιν, ἄλλοτε δ' αὖτε*
*ἔντοσθεν πυλέων ἀπὸ τείχεος· οὐδ' ἀπέληγε*
*δεινὸς Ἄρης, Τρώων μὲν ἐελδομένων ἀπερύξαι*
*δυσμενέων στρατὸν αἰνόν, ἐϋσθενέων δ' Ἀργείων*
*ἄστυ διαπραθέειν· ὀλοὴ δ' ἔχε πάντας ὀϊζύς.*
*καὶ τότε δὴ Τρώεσσιν ἀρηγέμεναι μενεαίνων*
*ἔκθορεν Οὐλύμποιο καλυψάμενος νεφέεσσι*
*Λητοΐδης· τὸν δ' αἶψα θοαὶ φορέεσκον ἄελλαι*
*τεύχεσι χρυσείοισι κεκασμένον· ἀμφὶ δὲ μακραὶ*
*μάρμαιρον κατιόντος ἶσον στεροπῇσι κέλευθοι·*

---

265. *εἶτ' ὀμίχλην* conj. Pauw.
266. *πέρι* A.
272. *μέμηνε* A et vulgo; corr. Lehrs.
276. *ἄνδρας ἐσθλούς* A; *ἄνδρας ἐεσθλούς* tacite edidit Rhod., *ἀνέρας ἐσθλούς* corr. Pauw.
279. *τροίην* A; em. Rhod.
281. *ἐνθάδε* A, *ὧδε* C1; „*ἔνθα μένοντας* vel *ἐνθάδ' ἐόντας.*" RHOD. Illud receperunt Tychs. Lehrs., recte propter sequens *ἔμμεναι*, quamquam *B*, 343 et Tryphiod. 124 legitur *ἐνθάδ' ἐόντος.*
287. *ἔκτοσθεν* A, *ἔντοσθεν* E1C1; et ita Rhod. vertendo *intra* et Pauw.— *ἄπο* A.
288. *δεινὸς ἀνὴρ* A, *δεινὸς Ἄρης* C1; „magis quadrat *Ἄρης.*" RHOD.
289. *τ' Ἀργείων* A, *δ' Ἀργείων* C1; et ita corr. Rhod.
295. *ἴσον* A, *ἶσον* C1; et ita corr. Pauw.

ἀμφὶ δέ οἱ γωρυτὸς ἐπέκτυπεν· ἔβραχε δ' αἰθὴρ
θεσπέσιον καὶ γαῖα μέγ' ἴαχεν, εὖτ' ἀκάμαντας
θῆκε παρὰ Ξάνθοιο ῥόον πόδας· ἐκ δ' ἐβόησε
σμερδαλέον, Τρωσὶν δὲ θράσος βάλε, δεῖμα δ' Ἀχαιοῖς
μίμνειν αἱματόεντα κατὰ κλόνον· οὐδ' Ἐνοσίχθων
ὄβριμος ἠγνοίησε· μένος δ' ἐνέπνευσεν Ἀχαιοῖς
ἤδη τειρομένοισι· μάχη δ' ἀΐδηλος ἐτύχθη
ἀθανάτων βουλῇσιν· ὄλοντο δὲ μυρία φῦλα
αἰζηῶν ἑκάτερθε· κοτεσσάμενος δ' ἄρ' Ἀπόλλων
Ἀργείοις ὥρμαινε βαλεῖν θρασὺν υἷ' Ἀχιλῆος
αὐτοῦ, ὅπου καὶ πρόσθεν Ἀχιλλέα· τοῦ δ' ἄρα θυμὸν
οἰωνοὶ κατέρυκον ἀριστερὰ κεκλήγοντες,
ἄλλα τε σήματα πολλά· χόλος δέ οἱ οὐκέτ' ἔμελλε
πείθεσθαι τεράεσσι· τὸ δ' οὐ λάθε Κυανοχαίτην·
* * * * * *
ἠέρι θεσπεσίῃ κεκαλυμμένος· ἀμφὶ δὲ ποσσὶ
νισσομένοιο ἄνακτος ἐρεμνὴ κίνυτο γαῖα·
τοῖον δ' ἔκφατο μῦθον ἐελδόμενός μιν ἐρύξαι·

297. *ἔνθ'* A et vulgo; *εὖτ'* conjeci in *emendatt.* p. 233: „terra ingemuit, *cum* Apollo pedes in solo sistebat; non tantum *ea terrae particula* contremuit, *cui* ille imponebat vestigium."

298. *ἐκ δ' ἐβόησε* et

299. *σμερδαλέον· τρώεσσι δὲ θάρσος βάλε* A, σ., *τρωσὶν δὲ θράσος βάλε* C1, quod ipsum retenta v. antecedente A scriptura et Pauw. invenit et ego commendavi in *emendatt. l. c.* et rec. Lehrs., cum Tychs. ex Rhod. conj. *ἐκ δὲ βοήσας σ. Τρώεσσι θράσος βάλε* dedisset.

301. *ὄβριμος* A. — *ἐπέπνευσεν* errore Tychs., quod corr. Spitzner. *mant.* p. 248 sq.

307. „Mirum Apollinem hic *augurio* absterreri; traductum hoc ab humana superstitione." Tychs. — *κατέλιπον* A, *κατέλειπον* e corr. C1, *κατέρυκον* VE1; et ita em. Rhod. — *κεκληγῶτες* A et vulgo; *κεκλήγοντες* conj. Rhod., quod recepi; vid. ad XII, 58.

308. *τε οἱ* A, *οἱ* om. C1, sed in rasura; „*οἱ* supervacuum." RHOD.— Cum *ira* non videretur portentis obedire posse, Spitzner. *l. c.* p. 97 sq. *νόος* conjecit, sine ulla causa. *χόλος* ipse est *animus ira concitatus.* — *οὐκ ἔτ'* A; correxi.

310. *κεκαλυμμένον* sine lacuna A et vulgo; sed mire Apollinis descriptioni latius effictae hoc imperfectum veluti *ἐν παρόδῳ* adjici: „hoc vero non latuit Neptunum *nebula contectum;* circum autem pedes *incedentis regis* contremiscebat terra;" jam dixi in *emendatt.* p. 280, ubi tale quid omissum esse monui:

— — — *τὸ δ' οὐ λάθε Κυανοχαίτην·*
[*αἶψα δ' Ἀπόλλωνος κατεναντίον ἆλτο χολωθείς*]
*ἠέρι θεσπεσίῃ κεκαλυμμένος.*

311. *ἐρυμνὴ* male ex conj. Pauwii scripsit Tychs. Vulgatam a Lehrsio revectam vindicavi *l. c.* his: „Jam Homerus ω, 106. hymn. Merc. 427. et Apoll. Rhod. III, 864. 1191 *γῆ ἐρεμνή* dixerunt. Et similia saepe inveniuntur. *Γῆ κελαινή* vocatur Homero *Π*, 348 et Quinto ipsi XII, 176. Saepe dicitur *γῆ μέλαινα*: Quint. II, 625. V, 48. 486. VI, 355. X, 62. (*κίνυτο γαῖα μέλαινα*), Anacreont. XIX, 1, quod ipsum saepius apud Homerum occurrit. In hymn. Cer. 130 *δι' ἠπείροιο μελαίνης*, in Apoll. Rhod. III, 1055 *δνοφερὴν βῶλον*

„ἴσχε τέκος, καὶ μήτι πελώριον υἷ᾽ Ἀχιλῆος
κτείνῃς· οὐδὲ γὰρ αὐτὸς Ὀλύμπιος ὀλλυμένοιο
γηθήσει· μέγα δ᾽ ἄλγος ἐμοὶ καὶ πᾶσι θεοῖσιν
ἔσσεται εἰναλίοισιν, ὅπως πάρος ἀμφ᾽ Ἀχιλῆα·
ἀλλ᾽ ἀναχάζεο δῖον ἐς αἰθέρα, μή με χολώσῃς,
αἶψα δ᾽ ἀναρρήξας μεγάλης χθονὸς αἰνὰ βέρεθρα
αὐτὴν Ἴλιον εἶθαρ ἑοῖς ἅμα τείχεσι πᾶσαν
θήσω ὑπὸ ζόφον εὐρύν· ἄχος δέ τοι ἔσσεται αὐτῷ."
ὣς φάθ᾽· ὃ δ᾽ ἀζόμενος μέγ᾽ ἀδελφεὸν οἷο τοκῆος
δείσας τ᾽ ἀμφὶ πόληος ἐϋσθενέων θ᾽ ἅμα λαῶν
χάσσατ᾽ ἐς οὐρανὸν εὐρύν, ὃ δ᾽ εἰς ἅλα· τοὶ δ᾽ ἐμάχοντο
ἀλλήλους ὀλέκοντες, Ἔρις δ᾽ ἐπετέρπετο χάρμῃ,
μέσφ᾽ ὅτε δὴ Κάλχαντος ὑπ᾽ ἐννεσίῃσιν Ἀχαιοὶ
ἐς νῆας χάσσαντο καὶ ἐξελάθοντο μόθοιο·
οὐ γὰρ δὴ πέπρωτο δαμήμεναι Ἰλίου ἄστυ,
πρίν γε Φιλοκτήταο βίην ἐς ὅμιλον Ἀχαιῶν
ἐλθέμεναι πολέμοιο δαήμονα δακρυόεντος.
καὶ τὸ μὲν ἢ ἀγαθοῖσιν ἐπέφρασατ᾽ οἰωνοῖσιν,
ἠὲ καὶ ἐν σπλάγχνοισιν ἐπέδρακεν· οὐ γὰρ ἄϊδρις
μαντοσύνης ἐτέτυκτο· θεὸς δ᾽ ὣς ᾔδεε πάντα.
τῷ πίσυνοι στονόεντος ἀποιχόμενοι πολέμοιο
Ἀτρεῖδαι προέηκαν ἐϋκτιμένην ποτὶ Λῆμνον
Τυδέος ὄβριμον υἷα μενεπτόλεμόν τ᾽ Ὀδυσῆα

---

legitur. Nonnus postremo XXIX, 67 *γαῖα κυανέη* scripsit.

313. *ἴσχεο τέκνον, μήτι* A, *ἴσχε τέκος καὶ μήτι* VE1, quod rec. Tychs. — *μή νυ* conj. Pauw.

318. *βέρεθρον* manco versu A, neque quidquam auxilii in cdd.; *βέρεθρα* C1; „insere ante *βέρεθρον εὐρύ.*" RHOD. Id recepp. Tychs. Lehrs.; *αἰπὺ* conj. Brodaeus. Neutrum alio Quinti loco firmatur. *Εὐρύς* habes v. 320 323. Inde ex II, 612 *αἰνὰ βέρεθρα* reposui.

320. *αὔτῳ* A; corr. Tychs. Cfr. Spitzner. *observv.* p. 112.

324. *ἐπιτέρπετο* A et vulgo; *ἐπετέρπετο* corr. Spitzner. *mant.* p. 248. *observatt.* p. 71.

330. *ἠγαθέοισιν* A et vulgo; in quo recte offendit Bonit. *l. c.* p. 1237, quia ut apud Homerum et alios, etiam apud Quintum IV, 420. V, 196. (cfr. Buttm. lexil. I, 16) semper sit epitheton ornans locorum, Sed quod ille ex II, 657 proposuit *ἦ ῥα θοοῖσιν* recepitque Lehrs., jure improbat Spitzner. *observatt.* p. 135 propter particulam *ῥα* insolentius cum *ἦ* junctam. Quod ipse emendat *ibid.* p. 136 *ἢ ἀγαθοῖσιν* in idem ego quoque incideram. Reposui commendatum etiam celeberrimo illo *εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης.* — *ἐπέφρασεν* A et vulgo; *ἐπέφρασατ᾽* em. Bonit. *l. c.*, rec. Lehrs. Cfr. Apoll. Rhod. I, 445. III, 918. Ne tamquam nova afferantur, etiam *ἐπήισεν* ex Apoll. Rhod. II, 195 et *ὕπ᾽ ἔχραεν* ex eod. IV, 257 conjicere quis possit.

333. *ἀποιχομένου* A, *ἀποιχομένοιο* E1, *ἀποιχόμενοι* C1; et ita em. Rhod.

335. *ὄβριμον* A.

*νηὶ θοῇ· τοὶ δ' αἶψα ποτὶ πτόλιν Ἡφαίστοιο*
*ἤλυθον Αἰγαίοιο διὰ πλατὺ χεῦμα θαλάσσης,*
*Λῆμνον ἐς ἀμπελόεσσαν, ὅπῃ πάρος αἰνὸν ὄλεθρον*
*ἀνδράσι κουριδίοισιν ἐμητίσαντο γυναῖκες*
*ἔκπαγλον κοτέουσαι, ἐπεί σφεας οὔτι τίεσκον,*
*ἀλλ' ἄρα δμωιάδεσσι παρευνάζοντο γυναιξὶ*
*Θρηικίῃς, τὰς δουρὶ καὶ ἠνορέῃ κτεάτισσαν*
*πέρθοντές ποτε γαῖαν ἀρηιφίλων Θρηΐκων·*
*αἳ δὲ μέγα ζήλοιο περὶ κραδίῃσι πεσόντος*
*θυμὸν ἀνοιδήσαντο, φίλους δ' ἀνὰ δώματ' ἀκοίτας*
*κτεῖνον ἀνηλεγέως ὑπὸ χείρεσιν, οὐδ' ἐλέησαν*
*κουριδίους περ ἐόντας· ἐπεὶ μέγα μαίνεται ἦτορ*
*ἀνέρος ἠδὲ γυναικός, ὅτε ζηλήμονι νούσῳ*
*ἀμφιπέσῃ· κρατεραὶ γὰρ ἐποτρύνουσιν ἀνῖαι·*
*ἀλλ' αἵγε σφετέροισιν ἐπ' ἀνδράσι πῆμ' ἐβάλοντο*
*νυκτὶ μιῇ, καὶ πᾶσαν ἐχηρώσαντο πόληα*
*παρθέμεναι φρεσὶ θυμὸν ἀταρβέα καὶ μέγα κάρτος.*
*οἳ δ' ὅτε δὴ Λῆμνον — — —*

---

336. *οἳ δ'* A et vulgo; *τοὶ δ'* corr. Spitzner. *mant.* p. 266, rec. Lehrs.

339. *ἐμητήσαντο* A; tacite corr. Rhod.

